www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΚΤΙΣΤΟΥ,

## ΣΥΝΑΣΚΗΤΟΥ ΤΟΥ ΟΣΙΟΥ ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

(ου η μνήμη τη γ΄ Σεπτεμβρίου)




ΤΟ ΑΓΙΟΝ ΜΑΝΔΗΛΙΟΝ

Εποιήθη εν Αγίω Όρει του Άθωνος
υπό
Αθανασίου ιερομονάχου Σιμωνοπετρίτου.
Υμνογράφου της Αγίας του Χριστού Μεγάλης Εκκλησίας.

* Έτος 1998 *

www.tezaurliturgic.ro

# ΤΗ Γ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη του Οσίου Πατρός ημών Θεοκτίστου,
συνασκητού του Μεγάλου Ευθυμίου.

\+ + +

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε, εκέκραξα, ιστώμεν Στίχους ς΄ και ψάλλομεν Στιχηρά προσόμοια του Οσίου, δευτερούντες αυτά.

Ήχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάτερ Θεόκτιστε το σον, ευαγές μνημόσυνον, των μοναστών τα συστήματα, ευφραίνει κάλλεσι, της σης πολιτείας, και θαυμάτων χάρισι, και ταις των χαρισμάτων λαμπρότησι. Χριστόν ικέτευε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Πάτερ Θεόκτιστε τον σον, τόνον της ασκήσεως, οι δυσμενείς επτοήθησαν, και κατηργήθησαν, ταις σαις ανενδότοις, προσευχαίς πανεύφημε· Χριστόν γαρ, συνεργούντα εκέκτησο· ον νυν ικέτευε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Πάτερ Θεόκτιστε Θεού, κτίσις εχρημάτισας· το κατ' εικόνα φυλάξας γαρ, επαληθεύουσαν, δια πολιτείας, και πανσέπτου σχήματος, την κλήσιν επεδείξω πανθαύμαστε· Χριστόν ικέτευε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Δόξα. Ήχος πλ. β΄.

Δεύτε χαρμονικώς σήμερον φιλόσιοι τον στύλον της εν Χριστώ ησυχίας, και εραστήν της θεοποιού απαθείας, τον κοινοβιάρχην τον

www.tezaurliturgic.ro
έμπειρον και υπαλείπτην των ασκητών, Θεόκτιστον τιμήσωμεν. Ούτος γαρ από παιδός τον σταυρόν του Δεσπότου εν χαρά αναλαβών, και προ οφθαλμών τον Θεόν αεί προρώμενος, πλήθη εφώτισε μοναστών εν τη πανερήμω, τη συνεργία του μεγάλου Ευθυμίου. Αυτόν ουν ικετεύσωμεν λέγοντες· πρέσβευε Όσιε φιλότεκνε τω Κυρίω, υπέρ των πόθω τελούντων σου την σεβάσμιον πανήγυριν.

Και νυν. Θεοτοκίον.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου, τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς· ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Φως ιλαρόν.
Το προκείμενον της ημέρας. Και τα Αναγνώσματα
(ζήτει αυτά την 5η Δεκεμβρίου, εορτή Αγ. Σάββα)

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
Ψάλλομεν στιχηρά ιδιόμελα

Ήχος α΄.

Τω βέλει της αγάπης του Κυρίου ετρώθης, Θεόκτιστε όσιε, και ως φιλήσυχος στρουθός εν τη ερήμω εμάκρυνας, ποθών εκεί την καλιάν σου στήσαι, και ευρείν Ον εραστικώς επόθησας. Όθεν τη συντόνω ασκήσει εις την απάθειαν εφθάσας, και τη διακριτική σου εργασία, οδηγός εφάνης πολλών εις την οδόν της θεώσεως· διο

www.tezaurliturgic.ro

αιτούμέν σε, πρέσβευε τω Δεσπότη και Θεώ υπέρ των ψυχών ημών.

Ήχος β΄.

Το αδελφός υπ' αδελφού βοηθούμενος καλώς γινώσκων Θεόκτιστε, εύρες συνέριθον και ομόψυχον εν Θεώ τον μέγαν Ευθύμιον· και οι χριστόψυχοι βόες άμφω υποζευχθέντες, τη χαρμοσύνω ασκήσει φώτα ανεφάνετε των μοναστών αειλαμπέστατα, και την έρημον της Ιουδαίας νεώσαντες φιλοτίμως, ταύτης τα τέκνα επληθύνατε εν Θεώ, μεθ' ών νυν αγάλλεσθαι ορώντες τον Δεσπότην, Όν ικετεύσατε υπέρ των ψυχών ημών.

Ήχος γ΄.

Την ησυχίαν υπέρ πάντα προελόμενος, ως της καθάρσεως αρχήν υπάρχουσαν, ταύτης επέτυχες μακάριε, εν τη πανερήμω κατασκηνώσας· και ταις μυστικαίς εντεύξεσι των δεσποτικών δωρεών εντρυφήσας, πλούτον πνευματικόν συνήθροισας, της ψυχής σου ταις αποθήκαις. Εξ ου Θεόκτιστε πανάριστε, πλουσιοδώρως μετάδος και ημίν τοις τιμώσί σου το χαρμόσυνον μνημόσυνον.

Ήχος δ΄.

Της κατά Χριστόν φιλοσοφίας εραστής και κάτοχος γεγονώς, των ορωμένων κατεφρόνησας τας φθειρομένας ηδονάς Θεόκτιστε, την δε αρετογεννήτριαν ευχήν ασκήσας, παράδεισον έσχες την ακρότομον έρημον, ένθα συνήγαγες χριστοποθήτους αθλητάς, ους πατρικώς υπήλειψας ταις διδαχαίς σου, και κληρονόμους απέδειξας της Βασιλείας του Θεού, Όν καθικέτευε όσιε παμμακάριστε, δοθήναι ημίν το μέγα έλεος.

Δόξα. Ήχος πλ. α΄.

www.tezaurliturgic.ro

Τω εν σπηλαίω γεννηθέντι Σωτήρι εδωροφόρησας, ως υπερτίμητα ανανθήματα Θεόκτιστε θεόσοφε, ουχί χρυσόν και σμυρνολίβανον, αλλά ψυχάς λογικάς, ταις πατρικαίς σου και σοφοτάταις υφηγεσίες· όθεν την λαύραν του Φαράν, πάσης αρετής ενθέου εργαστήριον και στάδιον ασκητικών στεφάνων ανέδειξας· διο κοινοβιάρχα οσιώτατε και θεοφώτιστε, πρέσβευε μετά του συναθλητού σου μεγάλου Ευθυμίου, και του μαθητού σου ηγιασμένου Σάββα, υπέρ ημών των τιμώντων σε.

Και νυν.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν και καταφυγήν των ψυχών ημών.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρά προσόμοια. Ήχος πλ. α΄. Χαίροις ασκητικών.

Χαίροις ο προτιμήσας Θεόν, της των κτισμάτων ωραιότητος άγιε, και οίκον οικοδομήσας, σαυτόν σεπτών αρετών, εν τη πανερήμω χριστοστόλιστον· ην πόλιν ανέδειξας, συναθροίσας σοφώτατα, χορούς οσίων, εκζητούντων τον Κύριον, και κατήργησας, του εχθρού τα σοφίσματα. Όθεν κλεινέ Θεόκτιστε, χαρίτωσον άπαντας, τους την αγίαν σου μνήμην, επιτελούντας και στήριξον, ευχαίς πατρικαίς σου, εις οδόν της σωτηρίας, τέκνα σου άπαντα.

*Στίχ. Καυχήσονται όσιοι εν δόξη...*

Χαίροις της ποιμανσίας κανών, και της ασκήσεως λαμπρά υπο-

www.tezaurliturgic.ro

τύπωσις, γνησίας φιλαδελφίας, ο θαυμαστός πληρωτής, και φιλοθεΐας θεία κάμινος, Θεόκτιστε όσιε, της ερήμου αγλάϊσμα, του Ευθυμίου, του μεγάλου ομόψυχε, και συνέριθε, εν αγώσι του πνεύματος, Σάββα σοφός διδάσκαλος, και ποίμνης σου καύχημα, ημών δε θείος ικέτης, προς τον φιλάνθρωπον Κύριον, Ον πρέσβευε πάτερ, δούναι πνεύμα μετανοίας, τοις σε γεραίρουσι.

*Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.*

Χαίροις ο των κτισμάτων σοφώς, τους λόγους γνους θεομακάριστε όσιε, και τούτων καταφρονήσας, δια τον Λόγον Χριστόν, Ού οπίσω πόθω ηκολούθησας, αυτού τα εντάλματα, ακριβώς εκπληρούμενος, και Ω τον βίον, ως θυσίαν προσήγαγες, και θυμίαμα, πανευώδες Θεόκτιστε· πάτερ σπηλαιοδίαιτε, ψυχής ημών έκβαλε, ως εκ σπηλαίου τα πάθη, και φως Χριστού αντισάγαγε, διδούς σαις πρεσβείαις, ακατάπληκτον τον ζήλον, θείας ασκήσεως.

Δόξα. Ήχος β΄.

Τοις θεορρύτοις ιδρώσι και τοις καρδιακοίς στεναγμοίς σου, την πρώην άγονον έρημον παράδεισον θεοφύτευτον πάτερ Θεόκτιστε έδειξας· διδασκαλία γαρ αρδεύσας τας ψυχάς των φοιτητών σου, και υποδείγματι ζωοποιού νεκρώσεως τούτους εκθρέψας, ανέδειξας εν επιγνώσει εραστάς των του Πνεύματος μυστηρίων. Όθεν και ημών αύξησον τον θείον ζήλον δεόμεθα όσιε, εις μέθεξιν της αιωνίου ζωής.

Και νυν. Την πάσαν ελπίδαν μου...

Απολυτίκιον.

Θεώ εκ νεότητος, ανατεθείς ιερώς, κτιστών την προσπάθειαν, απεβδελύξω στερρώς, Θεόκτιστε Όσιε· όθεν της ησυχίας, διαλάμπων

www.tezaurliturgic.ro
τοις τρόποις, ώφθης των μοναζόντων, ακριβής παιδοτρίβης. Και νυν τους προσιόντας σοι, Πάτερ κυβέρνησον.

Θεοτοκίον. Το απ' αιώνος απόκρυφον...
Και απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τον Εξάψαλμον και τα ειρηνικά· εις το, Θεός Κύριος· το Απολυτίκιον του οσίου και το Θεοτοκίον, ως εν τω Εσπερινώ.

Μετά την α΄ στιχολογίαν.
Κάθισμα. Ήχος α΄. Τον τάφον σου, Σωτήρ.

Επ' άροτρον βαλών, την σην χείρα παμμάκαρ, ζωής της εν Χριστώ, εκ νεότητος ήρας, σταυρόν της ασκήσεως, εν ερήμω Θεόκτιστε, ένθα γέγονας, πατήρ πληθύος οσίων, και εστήριξας, των μοναστών τας χορείας, σεπτή ποιμανσία σου.

Δόξα. Και νυν. Θεοτοκίον, όμοιον.

Ασπόρως τον Χριστόν, απεκύησας μόνη, το θαύμα υπέρ νουν, πως Παρθένος και μήτηρ; διο Θεοτόκον σε, προσκυνούντες δοξάζομεν· συ γαρ έτεκες, τον Βασιλέα της δόξης, ον δυσώπησον, του ειρηνεύσαι τον κόσμον, και σώσαι τας ψυχάς ημών.

Μετά την β΄ στιχολογίαν.
Κάθισμα. Ήχος γ΄. Την ωραιότητα.

Το πυρ του Πνεύματος, καίον ετήρησας, εν τη καρδία σου, πάτερ Θεόκτιστε, και του εχθρού τας μηχανάς, διέλυσας σοφία σου· όθεν πείρα γέγονας, οδηγός ακριβέστατος, μοναστών ους έδειξας,

www.tezaurliturgic.ro

οικητήρια χάριτος, προσφέροντες [illegible] θυσίας, εν τη καρδία δι’ ασκήσεως.

Δόξα. Και νυν. Θεοτοκίον, όμοιον.

Την νεκρωθείσάν μου, ψυχήν τοις πάθεσι, ζώωσον Πάναγνε, μόνη Πανάμωμε, ως παρρησίαν μητρικήν, προς τον Υιόν σου έχουσα· συ γαρ μόνη έτεκες, υπέρ νουν και διάνοιαν, Λόγον τον συνάναρχον, τω Πατρί και τω Πνεύματι, ζωήν και αφθαρσίαν τω κόσμω, διδόντα αεί και μέγα έλεος.

Μετά τον Πολυέλεον. Κάθισμα. Ήχος πλ. δ΄. Την Σοφίαν και Λόγον.

Ευθυμίου μεγάλου συνασκητής, και ομόψυχος τούτου συναθλητής, εγένου Θεόκτιστε, εν ερήμω σκηνώσαντες, αρετάς δε πάσας ομού συνηθροίσατε, εαυτοίς τον πλούτον, δυνάμει της χάριτος· όθεν τας αγέλας, μοναστών οδηγούντες, προς γνώσιν του Πνεύματος, άμφω ταύτας ηγάγετε, και πληθύν ανεδείξατε, μετόχων βασιλείας ουρανών, μεθ’ ων άμα τω Χριστώ πρεσβεύσατε, δωρηθήναι ειρήνην, ημίν οσιώτατοι.

Δόξα. Και νυν. Θεοτοκίον, όμοιον.

Ενθυμούμαι την κρίσιν και δειλιώ, εννοών μου τας πράξεις τας πονηράς, πως απολογήσωμαι τω Κριτή ο ταλαίπωρος; προς την σην δε βλέπων, εικόνα Πανύμνητε, αναψυχήν λαμβάνω, Κυρία των πόνων μου· και απεγνωσμένος, σοι προσπίπτω κραυγάζων· ελέησον οίκτειρον, Παναγία μου πρόφθασον, εν ημέρα της Κρίσεως, όπως ταις πρεσβείαις ταις σαις, ο Υιός σου ίλεώς μοι γένηται, επεί άλλην ελπίδα, εκτός σου ου κέκτημαι.

www.tezaurliturgic.ro

Και οι Αναβαθμοί του δ΄ ήχου

Εκ νεότητός μου...

Προκείμενον

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

*Στίχ. Καυχήσονται όσιοι εν δόξη και αγαλιάσονται επί των κοιτών αυτών.*

Ευαγγέλιον. Οσιακόν.

Ζήτει την 17ην Ιανουαρίου, εορτή Αγ. Αντωνίου.

Μετά τον Ν΄ Ψαλμόν·

Δόξα. Ταις του σου Οσίου...

Και νυν. Ταις της Θεοτόκου...

*Στίχ. Ελέησόν με ο Θεός...*

Ιδιόμελον. Ήχος πλ. β΄.

Εν τη ασαλεύτω Πέτρα της ζωής, τον οίκον της ψυχής σου, ασφαλώς εδράσας Θεόκτιστε πάτερ, σύναψον και ημών την ζωήν Αυτώ ταις πρεσβείαις σου, όπως δοξάζωμεν ενθέως, την μνήμην σου την χαρμόσυνον.

Κανών της Θεοτόκου: Μικρή παράκλησις.

Κανών του Οσίου, ου η Ακροστιχίς.

Τους σους αγώνας, ω Θεόκτιστε, φράσω. Θεοφάνους.

Ωδή α΄. Ήχος πλ. δ΄. Η κεκομμένη.

Της απαθείας τω πόθω νυττόμενος, σαρκός τα σκιρτήματα, Πάτερ κατεμάρανας, Θεόκτιστε σοφέ, θεόθεν βοηθούμενος, και νυν ημάς φωτός του νοητού, πλησθήναι καθικέτευσον, τω Κυρίω ψάλλοντας· Ενδόξως γαρ δεδόξασται.

Οικειωθείς σοι ο μέγας Ευθύμιος, τη θεία Πάτερ στοργή, και

www.tezaurliturgic.ro
συνδιαιτώμενος, Θεόκτιστε στερρώς, την τρίβον της ασκήσεως, διήνυσεν εμπράκτως αληθώς και σοι συνανεκραύγαζε· Τω Κυρίω άσωμεν· ενδόξως γαρ δεδόξασται.

Υπωπιάσας το σώμα πανόλβιε, και πάθη τα της σαρκός, Πάτερ δουλωσάμενος, Θεόκτιστε τρανώς, εδέξω την λαμπρότητα, της χάριτος, και ταύτη λαμπρυνθείς, ενθέως ανεκραύγαζες· Τω Κυρίω άσωμεν· ενδόξως γαρ δεδόξασται.

Θεοτοκίον

Σε σωτηρίας ελπίδα κτησάμενοι, Παρθενομήτορ αγνή, Λόγον ως κυήσασαν, θεόφρονες σοφοί, ασκήσει ενδιέπρεψαν, Ευθύμιος ο πάσι ποθητός, ο θείός τε Θεόκτιστος, τω Κυρίω ψάλλοντες· Ενδόξως γαρ δεδόξασται.

Ωδή γ΄. Του Οσίου. Συ ει το στερέωμα.

Σάρκα μεν ενέκρωσας, δι' εγκρατείας σου Όσιε· την δε ψυχήν θείων χαρισμάτων, δωρεαίς κατελάμπρυνας.

Όλην μεν την έφεσιν, προς τον Δεσπότην σου έτρεψας· τον δε θυμόν, κατά των δαιμόνων, Θεοφόρε καθώπλισας.

Θεοτοκίον

Ύμνους αναμέλποντες, οι θεοδίδακτοι Δέσποινα, σε Ασκηταί, ως Θεόν τεκούσαν, Θεοτόκον εδόξασαν.

Ο Ειρμός

Συ ει το στερέωμα, των προστρεχόντων σοι Κύριε· συ ει το φως των εσκοτισμένων· και υμνεί σε το πνεύμά μου.

www.tezaurliturgic.ro

Κάθισμα. Του Οσίου. Ήχος δ΄. Επεφάνης σήμερον.

Των Πατέρων έξαρχος, ανηγορεύθης, και τω κόσμω γέγονας, περιφανέστατος λαμπτήρ, Όσιε Πάτερ Θεόκτιστε· όθεν απαύστως, τιμώμεν την μνήμην σου.

Θεοτοκίον.

Την θερμήν αντίληψην, των εν ανάγκαις, την ημών βοήθειαν, και προς Θεόν καταλλαγήν, δι' ης φθοράς ελυτρώθημεν, την Θεοτόκον, πιστοί μακαρίσωμεν.

Ή Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, αναρτηθέντα, τον Υιόν σου Πάναγνε, σπλάγχνα μητρώα γοερώς, σπαρασσομένη εκραύγαζες· Οίμοι! Πως έδυς, το φως μου το άχρονον.

Ωδή δ΄. Του Οσίου. Επέβης εφ' ίππους.

Σοφίας της πρώτης, συ εραστής ώφθης Πάνσοφε· τον γαρ βίον αμέμπτως διήνυσας, κεκαθαρμένος άριστα ψυχήν και έννοιαν, συμφώνως ανακράζων· δόξα τη δυνάμει σου Κύριε.

Αγνίσας τον νουν σου, της των παθών τύρβης ένδοξε, τας αισθήσεις εμφρόνως ρυθμίσας τε, αταραξίας γαλήνη Πάτερ προσώρμησας, προθύμως αναμέλπων· Δόξα τη δυνάμει σου Κύριε.

Γεώδεις φροντίδας, ασκητικώς απωσάμενος, ουρανίους ελπίδας εκτήσατο, ο σος θεράπων Δέσποτα, θείος Θεόκτιστος, Ευθυμίω συμψάλλων· Δόξα τη δυνάμει σου Κύριε.

Σταυροθεοτοκίον

www.tezaurliturgic.ro

Ως ώφθης εν κόσμω, εκ της Παρθένου ως άνθρωπος, εδωρήσω την νίκην Οσίοις σου· τω σω Σταυρώ γαρ, δαίμονας ούτοι απήλασαν, εν πίστει εκβοώντες· Δόξα τη δυνάμει σου Κύριε.

Ωδή ε΄. Του Οσίου. Φώτισον ημάς.

Νέκρωσον ημών, τα φρονήματα Φιλάνθρωπε, της σαρκός και τα σκιρτήματα, ταις ευπροσδέκτοις, του οσίου σου εντεύξεσιν.

Άνωθεν ημάς, εποπτεύοις Παμμακάριστε, και κατευθύνοις τον βίον ημών, των εκτελούντων πόθω, σοφέ την μνήμην σου.

Θεοτοκίον

Σύσκηνος δυάς, παναρίστη και θεόκλητος, τον σαρκωθέντα εκ Παρθένου αγνής, Θεόν κηρύττει, αρρήκτως ημίν εκλάψαντα.

Ωδή ς΄. Του Οσίου. Την δέησιν εκχεώ.

Ως ήλιος, τοις εν γη ανέτειλας, τω πυρσώ της ευσεβείας φωτίζων, και αρετών, διασπείρων το φέγγος, και σωφροσύνης διδάσκων φαιδρότητα, Θεόκτιστε σαις προσευχαίς, και νυν την οικουμένην ειρήνευσον.

Θεόφρονι, λογισμώ χρησάμενος, των εν γη καταπεφρόνηκας πάντων, και ουρανών, παμμακάριστε Πάτερ, την κληρουχίαν πανσόφως προέκρινας· Θεόκτιστε, και νυν σαφώς, ουρανούς εμβατεύεις γηθόμενος.

Θεοτοκίον

Εθέλχθητε, καλλονής τω έρωτι, του Χριστού της ευπρεπούς τε

www.tezaurliturgic.ro
και θείας, δια σαρκός, του φανέντος εν κόσμω, εκ της αγίας αγνής Θεομήτορος, και ώφθητε των μοναστών, ακριβούς πολιτείας προγράμματα.

O Ειρμός.

Την δέησιν εκχεώ προς Κύριον, και αυτώ απαγγελώ μου τας θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, και η ζωή μου τω Άδη προσήγγισε· και δέομαι ως Ιωνάς· Εκ φθοράς ο Θεός με ανάγαγε.

Κοντάκιον. Ήχος πλ. δ΄. Ως απαρχάς της φύσεως.
(παλαιόν)

Ως Θεού κτίσιν Όσιε,
το της ψυχής αξίωμα,
διατηρήσας κηλίδων ακήρατον,
Κυρίω καθιέρωσας·
ου τη θεία ελλάμψει,
των αγόνων παιδεύεις τα ακροθίνια,
Θεόκτιστε θεόφρον,
την κλήσιν έργοις πιστούμενος.

O Οίκος

Των κτισμάτων προκρίνας τον Κτίσαντα
και ανθρώπων σχολής την πανέρημον
τον σταυρόν της ασκήσεως είληφας
και προθύμως ως υιός Κυρίω εδούλευσας
από της πρώτης έως και της δωδεκάτης·
όθεν χαίρων νυν δρέπεις καμάτων σου
τους αφθάρτους στεφάνους, Θεόκτιστε πανόσιε,
την κλήσιν έργοις πιστούμενος.

www.tezaurliturgic.ro


Τη Γ΄ του αυτού μηνός μνήμη του Οσίου Πατρός ημών Θεοκτίστου, συνασκητού του μεγάλου Ευθυμίου.

*Στίχ. Ειδώς σου είναι τον Θεόν Κτίστην, Πάτερ,*
*Αυτόν προ πάντων εξελέξω κτισμάτων.*

Τη αυτή ημέρα μνήμη του αγίου Ιερομάρτυρος Ανθίμου, επισκόπου Νικομηδείας.

*Στίχ. Τμηθείς κεφαλήν, Μάρτυς Άνθιμε, ξίφει,*
*Και νεκρός ανθείς εις Θεού δόξαν τρίχας.*
*Άνθιμον εν τριτάττη απέκτεινε ξίφος οξύ.*

Ο Άγιος Άνθιμος, προκαθήσαντος του Μαξιμιανού, ήχθη προς αυτόν δέσμιος, προκειμένων πάντων των κολαστηρίων οργάνων. Και επεί, ερωτηθείς, το Χριστόν παρρησία εκήρυξε, θλάττεται τον τένοντα, σίδηροις πεπυρωμένοις τιτρώσκεται και επ' οστράκου γυμνός απλούται και ράβδοις τύπτεται και κρηπίδας χαλκάς πυρακτωθείσας υποδεθείς ελαύνεται και τροχώ δεσμείται· και τελευταίον την κεφαλήν αποτέμνεται, και αποτμηθείς, τρίχας εκφύει.

Τη αυτή ημέρα ο άγιος Ζήνων, εν λέβητι μολύβδου κοχλάζοντος βληθείς, τελειούται.

*Στίχ. Ζήνων ο θείος του Θεού πόθω ζέων.*
*Χαίρων υπήλθε του μολύβδου το ζέον.*

Τη αυτή ημέρα η αγία Βασίλισσα, θηριομαχήσασα και μηδέν βλαβείσα, τελειούται.

*Στίχ. Οφθείσα Βασίλισσα φρικτή θηρίοις,*
*Φρικτώ παρέστη παμβασιλέως θρόνω.*

Τη αυτή ημέρα ο άγιος Αριστίων, Επίσκοπος Αλεξανδρείας, πυρί τελειούται.

www.tezaurliturgic.ro

Στίχ. Ως εις άριστον την πυράν σπεύδων τρέχεις.
Χριστού άριστε μαρτύρων Αριστίων.

Ούτως ο άγιος Αριστίων υπήρχε μεν Επίσκοπος Αλεξανδρείας, εδίδασκε δε παρρησία τον λόγον του Χριστού, έτι δε και την εκδεχομένην χαράν των Αγίων εν τη βασιλεία των ουρανών. Και ούτω διδάσκων, εκρατήθη παρά του της Αλεξανδρείας άρχοντος· και ομολογήσας τον δεσπότην Χριστόν, Θεόν είναι αληθινόν, τω πυρί παρεδόθη· και ούτω το μακάριον και ποθεινόν δεξάμενος τέλος, την αγίαν αυτού ψυχήν παρέδωκε τω Θεώ.

Τη αυτή ημέρα ο άγιος Χαρίτων, εν ασβέστου βόθρω βληθείς, τελειούται.

*Στίχ. Εισδύς Χαρίτων εις τον ασβέστου βόθρον,*
*Άσβεστον εύρε φως ακηράτου τόπου.*

Ο άγιος Μάρτυς Αρχοντίων λιμώ τελειούται.

Ο άγιος Νεομάρτυς Πολύδωρος, ο εν τη Νέα Εφέσω μαρτυρήσας κατά το 1794, αγχόνη τελειούται.

Ταις αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ΄. Του Οσίου. Παίδες Εβραίων.

Όλω τω πόθω συνημμένως, δι' ασκήσεως στερράς σου τω Δεσπότη, ταις αυτού νυν τρυφάς, ελλάμψεσι κραυγάζων· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Κάρπωμα θείον τω Δεσπότη, προσενήνοχας τον βίον σου τρισμάκαρ, και θυσία δεκτήν, και άμωμον κραυγάζων· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Τέλος των πόνων εύρες μάκαρ, την απόλαυσιν την εν τω Παραδείσω, εκ στενής γαρ οδού, κατήντησας προς πλάτος, της βασιλείας πάνσοφε, ευλογών τον πάντων Κτίστην.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ίδε Παρθένος θείον βρέφος, απεγέννησεν, όπερ οι θεοφόροι, επιγνόντες Θεόν, και Κύριον εβόων· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Ωδή η΄. Του Οσίου. Επταπλασίως κάμινον.

Συν εγκωμίοις γίνεται, θεοφόρε η μνήμη σου· της δικαιοσύνης γαρ εδείχθης τρόφιμος, ανδρείας φρονήσεως, και σωφροσύνης Πάτερ σοφέ, Τον Δημιουργόν και Λυτρωτήν ανακράζων, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τους αιώνας.

Τον Θεοφόρον άπαντες, ευφημίαις τιμήσωμεν, ως εμπεπλησμένον εναργώς της χάριτος, και θείαις ελλάμψεσι, πεφωτισμένον άριστα. Τον Δημιουργόν και Λυτρωτήν εκβοώντες, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τους αιώνας.

Εν τη σορώ το σώμα σου, Ιεράρχης εκήδευσε, και της ευθυμίας, ο φαιδρός επώνυμος· ψυχήν δε οι Άγγελοι, εν ουρανοίς προσήνεγκαν, τω Δημιουργώ χαρμονικώς μελωδούντες· Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τους αιώνας.

Θεοτοκίον

Φιλοσοφείν επόθησαν, της Σοφίας τω έρωτι, της ενυποστάτου, ασκηταί θεόφρονες, της κόσμω πανάμωμε, αναδειχθείσης Κόρη εκ σου, και θεοπρεπώς, τας αρετάς φυτευσάσης· ην Παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαοί υπερυψούσιν εις πάντας τους αιώνας.

Ο Ειρμός

Επταπλασίως κάμινον, των Χαλδαίων, ο τύραννος, τοις θεο-

www.tezaurliturgic.ro

σεβέσιν εμμανώς εξέκαυσε· δυνάμει δε κρείττονι, περισωθέντας τούτους ιδών, τον Δημιουργόν, και Λυτρωτήν ανεβόα· οι Παίδες ευλογείται, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Ωδή θ΄. Του Οσίου. Εξέστη επί τούτω ο ουρανός.

Ροαίς σου των δακρύων εκκαθαρθείς, νυν φωτός απολαύειν Θεόκτιστε, του τριφεγγούς, τούτω παριστάμενος εμφανώς, και ταις εκείθεν άριστα, εκλελαμπρυσμένος μαρμαρυγαίς, εξ ύψους εποπτεύοις, ημάς τους την σην μνήμην, επιτελούντας παμμακάριστε.

Αγάπη και ελπίδι θωρακισθείς, και πιστώς πεφραγμένος διέλυσας, τας μηχανάς, και τας μεθοδείας των δυσμενών· και νικητής γενόμενος, νυν στεφανηφόρος περιπολείς, ταις θείαις συν χορείαις, Αγγέλων και δικαίων, περί τον θρόνον του Παντάνακτος.

Σωφρόνως και δικαίως και ευσεβώς, εν τη γη συν ανθρώποις βιώσαντες, εν ουρανοίς, λάμπετε θεόφρονες Ασκηταί, συν Ασωμάτων τάξεσιν, αίγλη εντρυφώντες θεαρχική· παρ' ης και των αγώνων, ενδίκως τοις στεφάνοις, ως νικηφόροι εκοσμήθητε.

Θεοτοκίον

Ω θεία και θεόφρον και ιερά, ξυνωρίς των Πατέρων υπέρλαμπρε, ταις σαις λιταίς, κόσμω την ειρήνην παρά Θεού καταπεμφθήναι αίτησαι, και της Εκκλησίας ειλικρινή, ομόνοιαν και πίστιν, πρεσβείαις ευπροσδέκτοις, της Θεοτόκου παμμακάριστοι.

Ο Ειρμός

Εξέστη επί τούτω ο ουρανός, και της γης κατεπλάγη τα πέρατα,

www.tezaurliturgic.ro
ότι Θεός, ώφθη τοις ανθρώποις σωματικώς, και η γαστήρ σου γέγονεν, ευρυχωρότερα των ουρανών· διο σε Θεοτόκε, Αγγέλων και ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Εξαποστειλάριον

Του Οσίου. Τοις Μαθηταίς συνέλθωμεν.

Αγγελικώς εβίωσας, επί γης θεοφόρε, συν Ευθυμίω πάνσοφε, τω μεγάλω φωστήρι, Θεόκτιστε διαπρέψας, εν ευχαίς και νηστείαις, και πλείστοις κατορθώμασι, πρακτικής θεωρίας· μεθ' ου και νυν, παρεστώς Τριάδι τη απροσίτω, υπέρ ημών ικέτευε, των τιμώντων σε μάκαρ.

Θεοτοκίον

Τετυρωμένον πάναγνε, και πιότατον όρος, Δαυΐδ Θεογεννήτρια, μελωδών σε εκάλει, ο σος προπάτωρ Παρθένε· Σολομών δε ο θείος, κλίνην σαφώς τοις Άσμασιν· Ησαΐας δε ράβδον· και Ιακώβ, κλίμακά σε είδε· και πύλην άλλον, εξ ης Θεός το φύραμα, νεουργεί των ανθρώπων.

Εις τους αίνους. Στιχηρά προσόμοια.
Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος.

Όσιε πάτερ Θεόκτιστε, ευαγγελίου σταυρόν, εκ νεότητος είληφας, δι' αγάπην Κτίστου σου, και την έρημον ώκησας, στρουθός καθάπερ φιλερημότατος, πλάτη στοχεύων, της θείας Πόλεως, ης νυν απόλαυσιν, έχων καθικέτευε τον Αγαθόν, υπέρ των τιμώντων σου, μνήμην την πάντιμον.

Πάτερ χριστόφρον Θεόκτιστε, τους πειρασμούς του εχθρού,

www.tezaurliturgic.ro
υπομείνας συνέτριψας, τούτου πάσαν έπαρσιν, και ως μάρτυς απείληφας, το θείον στέφος της καρτερίας σου, και των καμάτων της συνειδήσεως· όθεν μακάριε, χείρας θείας ύψωσον προς τον Θεόν, υπέρ των τιμώντων σου, μνήμην την πάντιμον.

Χαίροις Θεόκτιστε όσιε, των εντολών του Χριστού, πληρωτής ακριβέστατος, ησυχίας τύπωσις, και ασκήσεως άγαλμα, ποιμήν θεόφρων, εικών πραότητος, ευχής απαύστου, θυσιαστήριον, χάριτος οίκημα, άνθρωπε ισάγγελε, υπέρ ημών, πρέσβευε δεόμεθα, μνήμην τιμώντων σου.

Συν Ευθυμίω Θεόκτιστε, και θείω Σάββα ομού, Ιουδαίας ακροτόμον, έρημον ηρδεύσατε, και Χριστώ προσηνέγκατε, στρατόν οσίων αγγελομίμητον, και Παραδείσου κατεπλουτίσατε, θεία σκηνώματα, ένθα νυν χορεύοντες, πάντων ημών, μέμνησθε δεόμεθα, φιλοτεκνότατοι.

Δόξα. Ήχος ο αυτός.

Της ορωμένης κτίσεως υπερβάς νουνεχώς τας ηδονάς, των αοράτων ως παρόντων μετέσχες εναργώς θεόσοφε· και την πικρόγονον του βίου αρνησάμενος πλάνην σοφώς, τον γλυκύπικρον ανείληφας του Δεσπότου σταυρόν εκουσίως. Όθεν κτίσις εν Χριστώ νέα γέγονας, ων ζων τα υπέρ φύσιν κατά φύσιν, και αγγελικόν κτησάμενος βίον και πολιτείαν, ποιμήν πολύτεκνος αναδέδειξαι, τη θαυμαστή συναυλία του συμψύχου και μεγάλου Ευθυμίου, μεθ' ου πρέσβευε όσιε πάτερ Θεόκτιστε, υπέρ των ψυχών ημών.

Και νυν. Δέσποινα πρόσδεξαι.

Δοξολογία Μεγάλη. Απόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά. Οι Μακαρισμοί
και εκ του κανόνος του οσίου γ΄ και στ΄ ωδή.
Απόστολος του Οσίου (ζήτει την 17ην Ιανουαρίου)
Ευαγγέλιον Οσιακόν την 17ης Ιανουαρίου.

Μεγαλυνάριον του Οσίου.

Κτίσας σου τον οίκον τον της ψυχής, εν θεμέθλω Πάτερ, της ασκήσεως της στερράς, τω των όλων Κτίστη, ναόν ηγιασμένον, Θεόκτιστε τρισμάκαρ, σαυτόν ηυτρέπισας.

Κοινωνικόν. Εις μνημόσυνον αιώνιον...

Εγράφησαν τα παρόντα, συν Θεώ αγίω, εν τη Ιερά Μονή Σίμωνος Πέτρας Αγίου Όρους Άθω, τη 26.6.1998.